Κασανδρείας Θεοφάνους, ἀντὶ τοῦ ἀποθανόντος προέδρου Δαμασκηνοῦ. Κατ' ἰούνιον, ὑπόμνημα Τζίας καὶ Θερμίων Γερμανοῦ, ἀντὶ τοῦ παραιτηθέντος Νείλου. Κατ' ἰούνιον, ὑπόμνημα Μηδείας Χριστοφόρου, ἀντὶ τοῦ ἀποθανόντος Μητροφάνους. Κατ' ἰούνιον, ὑπόμνημα Δρύστρας Μακαρίου, ἀντὶ τοῦ προβιβασθέντος εἰς τὴν μητρόπολιν τῶν Παλαιῶν Πατρῶν Ἀντωνίου. Κατ' ἰούνιον, πατριαρχικὸν γράμμα πρὸς τὴν γερουσίαν τῆς Ἑνετίας περὶ τοῦ φορεῖν μίτραν τὸν Φιλαδελφείας Ἀθανάσιον Βελλεριανόν. Κατ' ἰούλιον, γράμμα πατριαρχικὸν δοθὲν τῷ χειροτονηθέντι Δρύστρας Μακαρίῳ ἐπὶ τῷ πληρῶσαι διὰ ψαλτικὸν τῆς χειροτονίας γρόσια τρεῖς χιλιάδας, ἐξ ὧν δύο τῷ ἄρχοντι Δήμῳ Ρούσῳ ἔχοντι λαμβάνειν παρὰ τῆς Μ. ἐκκλησίας, τὰ δὲ χίλια τῇ Μ. ἐκκλησίᾳ, καὶ οὕτω μένειν ἀκαταζήτητον. Κατ' ἰούλιον, γράμμα πατριαρχικὸν δοθὲν τῷ Δρύστρας Μακαρίῳ ἐπὶ τῷ εἶναι ἀκαταζήτητον διὰ τὰ χρέη τῆς ἐπαρχίας, ὡς τοῦ προκατόχου αὐτοῦ Ἀντωνίου ἐλευθέραν παντὸς χρέους καταλιπόντος τὴν μητρόπολιν. Κατ' αὔγουστον, καθαίρεσις τοῦ Φιλίππων καὶ Δράμας Γερασίμου, καταλιπόντος τὴν ἀρχιερωσύνην καὶ πόρνῃ συζῶντος διὰ κεπινίου. Κατ' αὔγουστον, ὑπόμνημα Φιλίππων καὶ Δράμας Σωφρονίου, ἀντὶ τοῦ καθαιρεθέντος Γερασίμου. Κατ' αὔγουστον, σιγίλλιον τῷ Πισειδίας περὶ ἑνώσεως τῶν Μύρων, Σίδης, καὶ Ἀτταλείας.

Ἰωαννίκιος Β' τὸ δ'. — 1651, ἰνδ. ε', κατ' ὀκτώβριον, παραίτησις τοῦ ἀρχιεπισκόπου Αἰγίνης Δωροθέου, διὰ γῆρας καὶ τὸ ἀνώμαλον τοῦ καιροῦ. Νοεμβρίου 26, παραίτησις τοῦ Γάνου καὶ Χώρας Γαβριήλ, διὰ γῆρας. Ποσειδεῶνος 5, γράμμα χορηγοῦν τοῖς ἐν Τζοβανίᾳ Σιναΐταις ἱερουργεῖν κατ' ἰδίαν. Κατὰ δεκέμβριον, ὑπόμνημα ἀρχιεπισκόπου Αἰγίνης Μελετίου, ἀντὶ τοῦ παραιτηθέντος Δωροθέου. Κατὰ δεκέμβριον, ὑπόμνημα Σερρῶν Κυρίλλου ἀπὸ Λοφτσοῦ, ἀντὶ τοῦ ἀποθανόντος Δανιήλ. Κατὰ δεκέμβριον, ὑπόμνημα ἐπισκόπου Λοφ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ